## ΠΡΟΒΛΗΜΑ ϛ

### *Διὰ τί πεύκη καὶ πίτυς καὶ τὰ ὅμοια τούτοις οὐκ ἐνοφθαλμίζεται*

Colloquuntur Crato, Philo, Soclarus

B **1.** Σώκλαρος ἑστιῶν ἡμᾶς ἐν κήποις ὑπὸ τοῦ Κηφισοῦ
ποταμοῦ περιρρεομένοις ἐπεδείκνυτο δένδρα παντοδαπῶς
πεποικιλμένα τοῖς λεγομένοις ἐνοφθαλμισμοῖς· καὶ γὰρ
ἐκ σχίνων ἐλαίας ἀναβλαστανούσας ἑωρῶμεν καὶ ῥοιὰς ἐκ
μυρρίνης· ἦσαν δὲ καὶ δρύες ἀπίους ἀγαθὰς ἐκφέρουσαι
καὶ πλάτανοι μηλεῶν δεδεγμέναι καὶ συκαῖ μορεῶν ἐμβο-
λάδας, ἄλλαι τε μίξεις φυτῶν κεκρατημένων ἄχρι καρπο-
γονίας. οἱ μὲν οὖν ἄλλοι πρὸς τὸν Σώκλαρον ἔπαιζον, ὡς
C τῶν ποιητικῶν σφιγγῶν καὶ χιμαιρῶν τερατωδέστερα
γένη καὶ θρέμματα βόσκοντα· Κράτων δὲ προὔβαλεν
ἡμῖν διαπορῆσαι περὶ τῆς αἰτίας, δι' ἣν μόνα τῶν φυτῶν
τὰ ἐλατώδη δέχεσθαι τὰς τοιαύτας ἐπιμιξίας οὐ πέφυκεν·
οὔτε γὰρ κῶνον οὔτε κυπάριττον ἢ πίτυν ἢ πεύκην ἐκτρέ-
φουσάν τι τῶν ἑτερογενῶν ὁρᾶσθαι.

**2.** Ὑπολαβὼν δὲ Φίλων ἔφη ʽλόγος τις ἔστιν, ὦ
Κράτων, παρὰ τοῖς σοφοῖς, βεβαιούμενος ὑπὸ τῶν γεωρ-
γικῶν. τὸ γὰρ ἔλαιον εἶναί φασι τοῖς φυτοῖς πολέμιον
καὶ τάχιστ' ἂν ἀπολέσθαι φυτὸν ὃ βούλοιο χριόμενον
ἐλαίῳ, καθάπερ τὰς μελίττας. τὰ δ' εἰρημένα δένδρα πίονα
καὶ πέπειραν ἔχει τὴν φύσιν, ὥστε πίσσαν ἀποδακρύειν
D καὶ ῥητίνην· ὅταν δὲ πληγῇ, ταῖς διακοπαῖς οἴκοθεν ὥσπερ